quòd nunc omnes, cùm virtutem definiunt, poſtea quàm eam habitum eſſe dixerunt, & in quibus verſetur docuerunt, addunt. Rectæ rationi conſentaneum. Recta autem ratio eſt ea, cui prudentia moderatur. Ergo omnes quodammodo videntur augurari, talem habitum prudentiæ conſentaneum, eſſe virtutem. Veruntamen paulum immutanda hæc definitio eſt. Non enim rectæ rationi conſentaneus ſolùm, ſed etiam cum recta ratione coniunctus habitus, virtus eſt. Prudentia autem, recta talibus de rebus ratio eſt. Itaque Socrates virtutes rationes eſſe exiſtimabat: omnes enim ſcientias eſſe: nos autem cum ratione coniunctas. Ex his igitur quæ dicta ſunt, perſpicuum eſt, nec ſine prudentia quemquam propriè virum bonum eſſe poſſe, nec prudentem ſine virtute ea, quæ ad mores pertinet. Sed & hoc eodem modo dilui ac refelli poteſt ea ratio, qua diſputare poſſit aliquis, virtutes inter ſe ſeparari. Non enim idem ad omneis virtutes aptiſſimus eſt naturâ. Itaque hanc iam adeptus eſt, illam autem nondum erit conſecutus. Nam in iis quidem virtutibus, quæ à natura ingenerantur in nobis, hoc euenire poteſt: in iis autem ex quibus abſolutè vir bonus nominatur, nõ poteſt. Vnà enim cum prudentia, quæ vna eſt, cæteræ omnes præſtò aderunt. Perſpicuum eſt autem, etiam ſi ad agendum nullam vim haberet, eam tamen neceſſariam futuram: quia partis animi virtus eſt: & quia conſilium ſine prudentia, ſinéque virtute non erit rectum. Hæc enim vt finem, illa vt ea, quę ad finem pertinent, agamus, efficit. At verò neque in ſapientiam dominatur, neque animi particulæ melioris habitus eſt: quemadmodum neque medicina bonæ valetudinis principatum habet. Non enim ea vtitur, ſed vt exiſtat, & adſit, operam dat. Illius igitur cauſa præcipit atque imperat, non illi. Præterea ſub prudentiæ imperio ſapientiam eſſe dicere, ſimile eſt, vt ſi quis dicat, ſcientiam ciuilem Diis immortalibus præeſſe, quia omnia inſtituat ac præcipiat, quæ ſunt in ciuitate.

A ὅταν ὁρίζονται τὴν ἀρετήν, προστιθέασι τὴν ἕξιν, εἰπόντες καὶ πρὸς ἅ ἐστι, τὴν κατὰ τὸν ὀρθὸν λόγον· ὀρθὸς δ', ὁ κατὰ τὴν φρόνησιν. ἐοίκασι δὴ μαντεύεσθαί πως ἅπαντες, ὅτι ἡ τοιαύτη ἕξις, ἀρετή ἐστιν ἡ κατὰ τὴν φρόνησιν. δεῖ δὲ μικρὸν μεταβῆναι· οὐ γὰρ μόνον ἡ κατὰ τὸν ὀρθὸν λόγον, ἀλλὰ καὶ ἡ μετὰ τοῦ ὀρθοῦ λόγου ἕξις, ἀρετή ἐστιν, ὀρθὸς δὲ λόγος περὶ τῶν τοιούτων, B ἡ φρόνησίς ἐστι. Σωκράτης μὲν οὖν λόγους τὰς ἀρετὰς ᾤετο εἶναι· ἐπιστήμας γὰρ εἶναι πάσας· ἡμεῖς δὲ, μετὰ λόγου. δῆλον τοίνυν ἐκ τῶν εἰρημένων, ὅτι οὐχ οἷόν τε ἀγαθὸν εἶναι κυρίως ἄνευ φρονήσεως· οὐδὲ φρόνιμον, ἄνευ τῆς ἠθικῆς ἀρετῆς· ἀλλὰ καὶ ὁ λόγος ταύτῃ λύοιτ' ἄν, ᾧ διαλεχθείη τις ἄν, ὅτι χωρίζονται ἀλλήλων αἱ ἀρεταί· οὐ γὰρ ὁ αὐτὸς εὐφυέστατος πρὸς ἁπάσας· C ὥστε τὴν μὲν ἤδη, τὴν δ' οὔπω εἰληφὼς ἔσται· τοῦτο γὰρ, κατὰ μὲν τὰς φυσικὰς ἀρετὰς, ἐνδέχεται· καθ' ἃς δὲ ἁπλῶς λέγεται ἀγαθὸς, οὐκ ἐνδέχεται· ἅμα γὰρ τῇ φρονήσει μιᾷ οὔσῃ, πᾶσαι ὑπάρξουσι. δῆλον δὲ, κἂν εἰ μὴ πρακτικὴ ἦν, ὅτι ἔδει ἂν αὐτῆς διὰ τὸ τοῦ μορίου ἀρετὴν εἶναι· καὶ ὅτι οὐκ ἔσται ἡ προαίρεσις ὀρθὴ ἄνευ φρονήσεως, οὐδ' ἄνευ ἀρετῆς· D ἡ μὲν γὰρ, τὸ τέλος· ἡ δὲ, τὰ πρὸς τι τέλος ποιεῖ πράττειν. ἀλλὰ μὴν οὐδὲ κυρία γέ ἐστι τῆς σοφίας, οὐδὲ τοῦ βελτίονος μορίου. ὥσπερ οὐδὲ τῆς ὑγιείας, ἡ ἰατρική. οὐ γὰρ χρῆται αὐτῇ· ἀλλ' ὁρᾷ ὅπως γένηται. ἐκείνης οὖν ἕνεκα ἐπιτάττει, ἀλλ' οὐκ ἐκείνῃ. ἔτι, ὅμοιον κἂν εἴ τις τὴν πολιτικὴν φαίη ἄρχειν τῶν θεῶν, ὅτι ἐπιτάττει περὶ πάντα τὰ ἐν τῇ E πόλει.

ARISTOTELIS Ethicorum Eudemiorum LIBER SEXTVS.

CAPVT I.

SEQVITVR nunc vt alio initio facto dicamus, eorum, quæ in moribus fugienda ſunt, tria eſſe genera, vitioſitatem, incontinentiam, feritatem. Ac duorum quidem primorum contraria, nota ſunt. Alterum enim virtutem, alterum continentiam

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ἠθικῶν Εὐδημίων τὸ Ζ.

Κεφάλαιον α.

ΜΕΤΑ' δὲ ταῦτα λεκτέον, ἄλλην ποιησαμένοις ἀρχὴν, ὅτι τῶν περὶ τὰ ἤθη φευκτῶν, τρία ἐστὶν εἴδη, κακία, ἀκρασία, θηριότης· τὰ δ' ἐναντία, τοῖς μὲν δυσὶ, δῆλα· τὸ μὲν γὰρ, ἀρετήν·

τὸ δ'